eul_wid: bhm-ac

*Ἐπίχαρμος ὁ Συρακόσιος* · Epicharmus of Syracuse

# Fragments of Epicharmus

*Ἐπιχάρμου Ἀποσπάσματα*

**Period:** *Ἀρχαϊκή* Archaic
**Dialect:** *Δωρική* Doric
**Domain:** *Κωμῳδία* Comedy
**Format:** *Ἔμμετρος* Verse

book 1.1 ὡς
book 1.2 ταχὺς Κόλαφος
book 1.3 περιπατεῖ δῖνος.
book 5 αὐτότερος αὐτῶν.
book 6.1 Ἄμυκε, μὴ κύδαζέ μοι τὸν
book 6.2 πρεσβύτερον ἀδελφεόν.
book 7 εἴ γε μὲν ὅτι ἐγκεκόμβωται καλῶς.
book 9.1 ὥσπεραὶ πονηραὶ μάντιες, αἵ θ’ ὑπονέμονται γυναῖκας μωρὰς ἆμ
book 9.2 πεντόγκιον ἀργύριον, ἄλλαι δὲ λίτραν, ταὶ δ’ ἀν’ ἡμιλίτριον δεχόμεναι, καὶ πάντα γινώσκοντι τῶι ... λόγωι.
book 10.1 ἐγὼ γὰρ τό γα βαλάντιον· λίτρα καὶ δεκάλιτρος
book 10.2 στατήρ, ἑξάντιόν
book 10.3 τε πεντόγκιον.
book 11 ἁ δὲ Σικελία πέποσχε.
book 19 καὶ τὸν ἀρχὸν ἐπικαλύψας ἐπιπλόωι.
book 21 πρᾶτον μὲν αἰκ ἔσθοντ’ ἴδοις νιν, ἀποθάνοις· βρέμει μὲν ὁ φάρυγξ ἔνδοθ’, ἀραβεῖ δ’ ἁ γνάθος, ψοφεῖ δ’ ὁ γομφίος, τέτριγε δ’ ὁ κυνόδων, σίζει δὲ ταῖς ῥίνεσσι, κινεῖ δ’ οὔατα.
book 23 πόλτον ἕψειν ὄρθριον.
book 24 οὐδ’ ἀμαμαξύας φέρει.
book 25 ναὶ μὰ τὰν κράμβαν.
book 29 ὅκχ’ ὁρῆι βῶκάς 〈τε〉 πολλοὺς καὶ σμαρίδας ..
book 30 κάστακοὶ γαμψώνυχοι.
book 31.1 κουρίδες
book 31.2 τε ταὶ φοινίκιαι.
book 33 χύτρα δὲ φακέας ἥψετο

book 34.1 ἀλλ’ ἄλλος ἔστειχ’ ὧδε

book 34.2 τοῦδε κατὰ πόδας, τὸν ῥαιδίως λαψῆι τὺ κὰτ τὸ νῦν γά θην εὔωνον ἀείσιτον· ἀλλ’ ἔμπας ὅδε ἄμυστιν ὥσπερ κύλικα πίνει τὸν βίον.

book 35.1 συνδειπνέων τῶι λῶντι, καλέσαι δεῖ μόνον, καὶ τῶι γα μὴ λεῶντι, κοὐδὲν δεῖ καλεῖν. τηνεὶ δὲ χαρίεις τ’ εἰμὶ καὶ ποιέω

book 35.2 πολὺν γέλωτα καὶ τὸν ἱστιῶντ’ ἐπαινέω· καἴ κα

book 35.3 τις ἀντίον 〈τι〉 λῆι τήνωι λέγειν, τήνωι κυδάζομαί τε κἀπ’ ὦν ἠχθόμαν. κἤπειτα

book 35.4 πολλὰ καταφαγών, πόλλ’ ἐμπιὼν ἄπειμι· λύχνον δ’ οὐχ ὁ παῖς μοι

book 35.5 συμφέρει, ἕρπω δ’ ὀλισθράζων

book 35.6 τε καὶ κατὰ σκότος ἔρημος· αἴ κα δ’ ἐντύχω

book 35.7 τοῖς

book 35.8 περιπόλοις, τοῦθ’ οἷον ἀγαθὸν ἐπιλέγω

book 35.9 τοῖς θεοῖς, ὅτι οὐ λῶντι

book 35.10 πλεῖον ἀλλὰ μαστιγοῦντί με. ἐπεὶ δέ χ’ εἵκω οἴκαδις καταφθερείς, ἄστρωτος εὕδω· καὶ τὰ μὲν

book 35.11 πρᾶτ’ οὐ κοῶ,

book 35.1 ἇς κά μ’ 〈ἔχ〉 ων ὤκρατος ἀμφέπηι

book 35.2 φρένας ..

book 37.1 ἐκάλεσε γάρ τύ τις ἐπ’ αἶκλον ἀέκων· τὺ δὲ ἑκὼν ᾤιχεο

book 37.2 τρέχων.

book 38 οὔτ’ ὦν Πάλαιρος οὔτε βοιαυτοῦ

book 39.1 τὸν

book 39.2 τοῦ γείτονος καλιόν.

book 42.1 ἄγει δὲ παντοδαπὰ κογχύλια, λεπάδας, ἀσπέδους, κραβύζους, κικιβάλους, τηθύνια, κτένια, βαλάνους, πορφύρας, ὄστρεια

book 42.2 συμμεμυκότα, τὰ διελεῖν μέν ἐντι

book 42.3 χαλεπά, καταφαγῆμεν δ’ εὐμαρέα, μύας ἀναρίτας

book 42.4 τε κάρυκάς

book 42.5 τε καὶ σκιφύδρια, τὰ γλυκέα μέν ἐντ’ ἐπέσθειν, ἐμπαγῆμεν δ’ ὀξέα, τούς

book 42.6 τε μακρογογγύλους

book 42.7 σωλῆνας· ἁ μέλαινά τε κόγχος, ἅπερ κογχοθηρᾶν

book 42.8 παισὶν εστρισώνια· θάτεραι δὲ γάιαι κόγχοι

book 42.9 τε κἀμαθίτιδες, ταὶ κακοδόκιμοί τε κηΰωνοι, τὰς ἀνδροφυκτίδας πάντες ἄνθρωποι καλέονθ’, ἁμὲς δὲ λεύκας

book 42.10 τοὶ θεοί.

book 43 κόγχος, ἃν τέλλιν καλέομες· ἐστὶ δ’ ἅδιστον κρέας.

book 44.1 μύες .. ἀλφησταί τε κορακῖνοί τε κοριοειδέες, αἰολίαι

book 44.2 πλῶτές

book 44.3 τε κυνόγλωσσοί τ’, ἐνῆν δὲ σκιαθίδες πίονες χἰππίδια λεῖα ψύχειπαλο κουρίδες.

book 45.1 λαμβάνοντι γὰρ ὄρτυγας

book 45.2 στρουθούς

book 45.3 τε κορυδαλλάς 〈τε〉 φιλοκονίονας τέτραγάς

book 45.4 τε σπερματολόγους κἀγλαὰς

book 45.5 συκαλλίδας.

book 46.1 ἦν δ’ ἐρωιδιοί τε

book 46.2 πολλοὶ μακροκαμπυλαύχενες τέτραγές

book 46.3 τε σπερματολόγοι κἀγλααὶ συκαλλίδες.

book 47.1 κομαρίδας

book 47.2 τε καὶ κύνας κέστρας

book 47.3 τε πέρκας τ’ αἰόλας.

book 48.1 χαλκίδας

book 48.2 τε καὶ κύνας κέστρας

book 48.3 τε πέρκας τ’ αἰόλας.

book 49.1 σκορπίοι

book 49.2 τε ποικίλοι

book 49.3 σαῦροί τε, γλαῦκοι πίονες.

book 50.1 σκορπίοι

book 50.2 τε ποικίλοι γλαῦκοί τε, σαῦροι πίονες.

book 51 κωξύρυγχοι ῥαφίδες ἵππουροί τε καὶ χρυσόφρυες.

book 53 καρκίνοι θ’ ἵκοντ’ ἐχῖνοί θ’, οἳ καθ’ ἁλμυρὰν ἅλα νεῖν μὲν οὐκ ἴσαντι, πεζᾶι δ’ ἐμπορεύονται μόνοι.

book 54.1 αὐτὸς ὁ Ποτιδὰν ἄγων γαύλοισιν ἐν

book 54.2 Φοινικικοῖς εἶκε καλλίστους αδητατήγανος ἁγεμὼν

book 54.3 σπάρους καὶ σκάρους, τῶν οὐδὲ τὸ σκᾶρ θέμιτον ἐκβαλεῖν θεοῖς.

book 55.1 αἰ δὲ λῆις, σαργοί τε

book 55.2 χαλκίδες

book 55.3 τε καὶ τοὶ πόντιοι ..

book 56.1 ἦν δὲ σαργῖνοί τε μελάνουροί τε καὶ ταὶ φίνταται

book 56.2 ταινίαι, λεπταὶ μὲν ἁδεῖαι δὲ κὠλίγου

book 56.3 πυρός.

book 57.1 ἐντὶ δ’ ἀστακοὶ κολύβδαιναί τε χὡς τὰ πόδι’ ἔχει μικρά, τὰς

book 57.2 χεῖρας δὲ μακράς, κάραβος δὲ τοὔνομα.

book 58.1 καὶ σκιφίας

book 58.2 χρόμις θ’, ὃς ἐν τῶι ἦρι κὰτ τὸν Ἀνάνιον ἰχθύων πάντων ἄριστος, ἀνθίας δὲ χείματι.

book 59.1 ἦν δὲ νάρκαι, βατίδες, ἦν δὲ 〈καὶ〉 ζύγαιναι, πρήστιες, κἀμίαι

book 59.2 τε καὶ βάτοι ῥῖναί τε

book 59.3 τραχυδέρμονες.

book 60.1 ἔτι δὲ πὸτ

book 60.2

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τούτοισι βῶκες, σμαρίδες, ἀφύαι, κάμμαροι, βαμβραδόνες
book 60.3 τε καὶ κίχλαι, λαγοὶ δράκοντές τ’ ἄλκιμοι.
book 61.1 πώλυποί τε
book 61.2 σηπίαι
book 61.3 τε καὶ ποταναὶ τευθίδες χἀ δυσώδης βολβιτὶς γραῖαί τ’ ἐριθακώδεες.
book 62.1 καὶ χελιδόνες
book 62.2 τε μύρμαι θ’, οἵ τε κολιᾶν μέζονες ἐντὶ καὶ σκόμβρων, ἀτὰρ τᾶν θυννίδων γα μείονες.
book 63.1 ἀόνες φάγροι
book 63.2 τε λάβρακές
book 63.3 τε καὶ ταὶ πίονες
book 63.4 σκατοφάγοι σάλπαι βδελυχραί, ἁδέαι δ’ ἐν τῶι θέρει.
book 64.1 ἆγε δὴ τρίγλας
book 64.2 τε κυφὰς κἀχαρίστους βαιόνας.
book 65.1 ἦν δ’ ὑαινίδες
book 65.2 τε βούγλωσσοί τε καὶ κίθαρος ἐνῆς.
book 66 τρυγόνες τ’ ὀπισθόκεντροι καὶ μάλ’ ἁδροὶ κωβιοί.
book 67.1 μεγαλοχάσμονάς
book 67.2 τε χάννας κἠκτραπελογάστρους ὄνους.
book 68.1 χαλκίδες θ’ ὕες
book 68.2 τε ἱέρακές
book 68.3 τε χὠ πίων κύων.
book 69*.1 συαγρίδας μαζούς
book 69*.2 τε συνόδοντάς τ’ ἐρυθροποικίλους.
book 70 λεκίδα κἠμβάφια δύο.
book 71.1 τόν
book 71.2 τε πολυτίματον ἔλοφ’, ὁ δ’ αὐτὸς
book 71.3 χαλκὸς ὤνιος, ἕνα μόνον· καὶ κῆνον ὁ Ζεὺς ἔλαβε κἠκελήσατο κατθέμειν αὐτῶι
book 71.4 τε οἱ καὶ τᾶι δάμαρτι θωτέρω.
book 72.1 οὔτε 〈οἱ〉 γόγγρων
book 72.2 τι παχέων οὔτε μυραινᾶν ἀπῆς.
book 76.1 〈ὁ〉 Πυγμαρίων λοχαγὸς ἐκ τῶν κανθάρων τῶν μεζόνων, οὕς
book 76.2 φαντι τὰν Αἴτναν ἔχειν.
book 78.1 ἀλλὰ μὰν ἐγὼν ἀνάγκαι
book 78.2 ταῦτα πάντα
book 78.3 ποιέω· οἴομαι δ’ οὐδεὶς ἑκὼν
book 78.4 πονηρὸς οὐδ’ ἄταν ἔχων.
book 79.1 κιθάραι, τρίποδες, ἅρματα, τράπεζαι χάλκιαι, χειρόνιβα, λοιβάσια, λέβητες χάλκιοι, κρατῆρες, ὀδελοί· τοῖς γα μὰν ὑπωδέλοις καιλωτε βαλλίζοντες
book 79.2 σιοσσον

Eulogikon public reading copy · View original HTML at eulogikon.org

book 79.3 χρῆμα εἴη.

book 80.1 ὀσφύος

book 80.2 τε πέρι κὠπιπλόου.

book 81.1 ναὶ τὸν

book 81.2 Ποτιδᾶν, κοιλότερος ὁλμοῦ πολύ.

book 82 χορδαί τε ἁδύ, ναὶ μὰ Δία, χὠ κωλεός.

book 83 φέρ’ ἐγχέας εἰς τὸ σκύφος.

book 84.1 σηπίας τ’ ἆγον νεούσας πέρδικάς

book 84.2 τε πετομένους.

book 85.1 οὐδὲ ποτθιγεῖν ἐγὼν

book 85.2 τεῦς ἀξιῶ.

book 87 [spk_—]— ὁ Ζεύς μ’ ἐκάλεσε, Πέλοπί γ’ ἔρανον ἱστιῶν. — ἦ παμπόνηρον ὄψον, ὦ ’τάν, ὁ γέρανος. — ἀλλ’ οὔτι γέρανον, ἀλλ’ ἔρανόν 〈γά〉 τοι λέγω.

book 88.1 οἱ τοὺς ἰάμβους καὶ τὸν ἄριστον

book 88.2 τρόπον, ὃν

book 88.3 πρᾶτος εἰσαγήσαθ’ ὡριστόξενος.

book 89.1 ἀφύας

book 89.2 τε κωρίδας

book 89.3 τε καμπύλας.

book 90.1 τὰς

book 90.2 πλευρὰς οἶόνπερ βατίς, τὰν δ’ ὀπισθίαν ἔχεις, Θεάγενες, οἶόνπερ βάτος, τὰν δὲ κεφαλὰν ὀστέων οἶόνπερ ἔλαφος οὐ βατίς, τὰν δὲ λαπάραν

book 90.3 σκορπίος

book 90.4 παῖς ἐπιθαλάττιος

book 90.5 τεοῦ.

book 91 εὔυμνος καὶ μουσικὰν ἔχουσα πᾶσαν, φιλόλυρος.

book 99*.1 τῆλ’ ἀπε]νθὼν

book 99*.2 τεῖδε θωκησῶ τε καὶ λεξοῦ[μ’ ὅπως

book 99*.3 πιστά κ’ ε]ἴμειν

book 99*.4 ταῦτα καὶ τοῖς δεξιωτέροι[ς δοκῆι. ‘τοῖς θεοῖς] ἐμὶν δοκεῖτε πάγχυ καὶ κατὰ τρόπ[ον καὶ ἐοικό]τως ἐπεύξασθ’, αἴ τις ἐνθυμεῖν γ[α λῆι,[ln_5]ὅσς’ ἐγών]γ’ ὤφειλον ἐνθ[ὼ]ν ὗσπερ ἐκελή[σασθ’ ἐμὲ τῶν

book 99*.5 παρ’ ὑμέ]ων ἀγαθικῶν κακὰ προτιμάσαι θ’ [ἅμα ἅμα

book 99*.6 τε κίν]δυνον

book 99*.7 τελέσσαι καὶ κλέος θεῖον [λαβεῖν, πολεμίω]ν μολὼν ἐς ἄστυ, πάντα δ’ εὖ σαφα[νέως

book 99*.8 πυθόμε]νος δίοις τ’ Ἀχαιοῖς

book 99*.9 παιδί τ’ Ἀτρέος φί[λωι[ln_10]ἆψ ἀπαγγ]εῖλαι τὰ τηνεῖ καὐτὸς ἀσκηθὴς [μολεῖν.‘

book 100.1 δέλφακά τε τῶν γειτόνων

book 100.2 τοῖς Ἐλευσινίοις

Eulogikon public reading copy · View original HTML at eulogikon.org

book 100.3 φυλάσσων δαιμονίως ἀπώλεσα, οὐχ ἑκών· καὶ ταῦτα δή με
book 100.4 συμβολατεύειν ἔφα
book 100.5 τοῖς Ἀχαιοῖσιν
book 100.6 προδιδόμειν τ’ ὤμνυέ με τὸν δέλφακα.
book 101.1 ἁ δ’ Ἁσυχία
book 101.2 χαρίεσσα γυνά, καὶ Σωφροσύνας
book 101.3 πλατίον οἰκεῖ.
book 102 ποτιφόριμον τὸ τέμαχος ἦς, ὑπομελανδρυῶδες ..
book 107.1 ἀλλὰ καὶ ῥέζει
book 107.2 τι χρῶμα.
book 109.1 Σεμέλα δὲ χορεύει, καὶ ὑπαυλεῖ σφιν
book 109.2 σοφὸς κιθάραι
book 109.3 παριαμβίδας· ἃ δὲ γεγάθει
book 109.4 πυκινῶν κρεγμῶν ἀκροαζομένα.
book 110.1 ἐκάλεσε γάρ τύ τις ἐπ’ αἶκλον ἀέκων· τὺ δὲ ἑκὼν ᾤχεο
book 110.2 τρέχων.
book 111 χρυσὸν καὶ χαλκὸν ὀφείλων.
book 113 ἢ θύλακον βόειον ἢ κόιν φέρει ἢ κωρυκίδα.
book 114 τὰν τέλλιν μάν, τὸν ἀναρίταν θᾶσαι δή, καὶ λεπὰς ὅσσα.
book 115* τοῦ Ποτειδᾶνος δὲ χρηστὸν υἱὸν ἱπποκάμπιον.
book 116 πολλοὶ στατῆρες, ἀποδοτῆρες οὐδαμεῖ.
book 117* Πύρραν γα μῶται Λευκαρίων.
book 118 κύλικα, μαγίδα, λύχνον.
book 123*.1 λαοὶ τοξοχίτωνες, ἀκούετε
book 123*.2 Σειρηνάων.
book 124.1 [spk_—]πρωὶ μέν γ’ ἀτενὲς ἀπ’ ἀοῦς ἀφύας ἀπεπυρίζομες
book 124.2 στρογγύλας, καὶ δελφακίνας ὀπτὰ κρέα καὶ πωλύπους, καὶ γλυκύν γ’ ἐπ’ ὧν ἐπίομες οἶνον. — οἰβοιβοῖ τάλας. περί γα μὰν αἴκλου τί κά τις καὶ λέγοι. — φοῦ τῶν κακῶν.[ln_5]ὃ καὶ πάρα
book 124.3 τρίγλα
book 124.4 τε μία
book 124.5 παχεῖα κἀμίαι δύο διατετμαμέναι μέσαι, φάσσαι
book 124.6 τε τοσσαῦται
book 124.7 παρῆν
book 124.8 σκορπίοι
book 124.9 τε.
book 125.1 [spk_—]— τίς ἐστι μάτηρ; — Σακίς. — ἀλλὰ τίς
book 125.2 πατήρ; — Σακίς. — τίς ἀδελφεὸς δέ; — Σακίς.
book 127.1 καὶ τὸ τᾶς
book 127.2

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Χιτωνέας αὐλησάτω τίς μοι μέλος.

book 128 ἀλλ’ οὐχ ὁμοῖα 〈τάδε〉 γ’ ἐρινοῖς οὐδαμῶς.

book 130 Ζεὺς ἄναξ, ἀν’ ἄκρα ναίων Γαργάρων ἀγάννιφα.

book 131.1 ἐκ

book 131.2 παντὸς ξύλου κλοιός

book 131.3 τε κα γένοιτο κἠκ

book 131.4 τωὐτοῦ θεός.

book 132 οὐκ ἔστι διθύραμβος ὅκχ’ ὕδωρ πίῃς.

book 133 οὔτ’ ἐν κάδωι δηλοίμην οὔτ’ ἐν ἀμφορεῖ.

book 134 ἐν δὲ σκόροδα δύο καὶ γαθυλλίδες δύο.

book 136 ἀλλ’ ὅμως καλαὶ καὶ πῖοι ἄρνες εὑρησοῦντί μοι δέκα νόμους· πωλατιᾶς γάρ ἐντι τᾶς ματρός ...

book 137.1 κᾶρυξ ἰὼν εὐθὺς

book 137.2 πρία μοι δέκα νόμων μόσχον καλάν.

book 139 θωσούμεθα· ὁ Ζεὺς ἀναρρύει.

book 140 ἀγλευκές ἐσθ’ ἄνθρωπος.

book 146.1 ἐκ

book 146.2 πονηροῦ θαμένους.

book 147 τόκα μὲν ἐν τήνων ἐγὼν ἦν, τόκα δὲ παρὰ τήνοις ἐγών.

book 148.1 [spk_—]ἐκ μὲν θυσίας θοῖνα, ἐκ δὲ θοίνας πόσις ἐγένετο. — χαρίεν, ὥς γ’ ἐμὶν 〈δοκεῖ〉. ἐκ δὲ πόσιος μῶκος, ἐκ μώκου δ’ ἐγένεθ’ ὑανία, ἐκ δ’ ὑανίας 〈δίκα .., ἐκ δίκας δὲ κατα〉δίκα, [ln_5]ἐκ δὲ καταδίκας πέδαι

book 148.2 τε καὶ σφαλὸς καὶ ζαμία.

book 149.1 τί δὲ τόδ’ ἐστί; — δηλαδὴ τρίπους. — τί μὰν ἔχει πόδας τέτορας; οὔκ ἐστιν

book 149.2 τρίπους, ἀλλ’ 〈ἐστὶν〉 οἶμαι

book 149.3 τετράπους. ἔστιν ὄνομ’ αὐτῶι

book 149.4 τρίπους, τέτοράς γα μὰν ἔχει πόδας. Οἰδίπους

book 149.5 τοίνυν

book 149.6 ποτ’ ἦν αἴνιγμά τοι νοεῖς.

book 150 καπυρὰ τρώγων κάρυ’, ἀμυγδάλας ..

book 151.1 〈καὶ〉 φασήλους φῶγε θᾶσσον, αἴ χ’ ὁ Διόνυσος

book 151.2 φιλῆι.

book 152.1 ὤεα

book 152.2 χανὸς κἀλεκτορίδων

book 152.3 πετεηνῶν.

book 153 πραύτερος ἐγών γα μολόχας.

book 154.1 ὑγιώτερόν θήν ἐστι κολοκύντας

book 154.2 πολύ.

book 155.1 οἷον αἱ μύκαι ἄρ’ ἐξεσκληκότες

book 155.2 πνιξεῖσθέ 〈με〉.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

book 157 τάς τ’ ἐλαιοφιλοφάγους κιχήλας.

book 158 θρίδακος ἀπολελεμμένας τὸν καυλόν.

book 159.1 μακωνίδες, μάραθα, τραχέες

book 159.2 τε κάκτοι, τοὶ σὺν ἄλλοις μὲν

book 159.3 φαγεῖν ἐντὶ λαχάνοις εἰς

book 159.4 τοπιον, αἴ κα

book 159.5 τις ἐκτρίψας καλῶς

book 159.6 παρατιθῆι νιν, ἁδύς ἐστ’· αὐτὸς δ’ ἐπ’ αὐτοῦ χαιρέτω.

book 160 θρίδακας, ἐλάταν, σχῖνον ... ῥαφανίδας, κάκτους ...

book 161 ὃ δέ τις ἄγροθεν ἔοικε μάραθα καὶ κάκτους φέρειν, ἴφυον, λάπαθον, ὀτόστυλλον, σκόλιον, σερίδ’, ἀτράκτυλον, πτέριν, κάκτον ὀνόπορδον.

book 164.1 κἀγλαοὶ κόκκυγες, οὓς

book 164.2 παρσχίζομες πάντας, ὀπτᾶντες δὲ χἀδύνοντες αὐτοὺς

book 164.3 χναύομες.

book 165.1 ἀλλὰ καὶ σιγῆν ἀγαθόν, ὅκκα

book 165.2 παρέωντι κάρρονες.

book 166 σκῶπας, ἔποπας, γλαῦκας.

book 168* οἵαπερ ἁ δέσποινα, τοία χἀ κύων.

book 169.1 ἀγρὸν τὰν πόλιν

book 169.2 ποιεῖς.

book 170.1 ἀλλ’ ἀεὶ τοὶ θεοὶ παρῆσαν χὑπέλιπον οὐ πώποκα, τάδε δ’ ἀεὶ πάρεσθ’ ὁμοῖα διά τε τῶν αὐτῶν ἀεί. ἀλλὰ λέγεται μὰν χάος

book 170.2 πρᾶτον γενέσθαι τῶν θεῶν. πῶς δέ κα; μὴ ἔχον γ’ ἀπό τινος ἐνθὲν ὅ τι

book 170.3 πρᾶτον μόλοι.

book 170.1 [ln_5][spk_—]οὐκ ἄρ’ ἔμολε

book 170.2 πρᾶτον οὐδέν; — οὐδὲ μὰ Δία δεύτερον, τῶνδε 〈γ’〉 ὧν ἁμὲς νὺν ὧδε λέγω μέλλει τάδ’ εἶν αἰ πὸτ ἀριθμόν

book 170.3 τις

book 170.4 περισσόν, αἰ δὲ λῆις, πὸτ ἄρτιον

book 170.5 ποτθέμειν λῆι ψᾶφον ἢ καὶ τᾶν ὑπαρχουσᾶν λαβεῖν, ἦ δοκεῖ κά τοί γ’ ἔθ’ ωὑτὸς εἶμεν; — οὐκ ἐμίνγα κα.[ln_10]οὐδὲ μὰν οὐδ’ αἰ ποτὶ μέτρον

book 170.6 παχυαῖον

book 170.7 ποτθέμειν λῆι

book 170.8 τις ἕτερον μᾶκος ἢ τοῦ πρόσθ’ ἐόντος ἀποταμεῖν, ἔτι χ’ ὑπάρχοι κεῖνο τὸ μέτρον; — οὐ γάρ. — ὧδε νῦν ὅρη καὶ τὸς ἀνθρώπους· ὃ μὲν γὰρ αὔξεθ’, ὃ δέ γα μὰν

book 170.9 φθίνει, ἐν μεταλλαγᾶι δὲ πάντες ἐντὶ πάντα τὸν

book 170.10 χρόνον.

book 170.1 [ln_15]ὃ δὲ μεταλλάσσει κατὰ φύσιν κοὔποκ’ ἐν

book 170.2 ταὐτῶι μένει, ἕτερον εἴη κα τόδ’ ἤδη

Eulogikon public reading copy · View original HTML at eulogikon.org

book 170.3 τοῦ παρεξεστακότος. καὶ τὺ δὴ κἠγὼ χθὲς ἄλλοι καὶ νὺν ἄλλοι

book 170.4 τελέθομες, καὖθις ἄλλοι κοὔποχ’ ωὐτοὶ κὰτ τὸν 〈αὐτὸν αὖ〉 λόγον.

book 171.1 ἆρ’ ἔστιν αὔλησίς

book 171.2 τι πρᾶγμα; — πάνυ μὲν ὦν. ἄνθρωπος ὦν αὔλησίς ἐστίν; — οὐδαμῶς. φέρ’ ἴδω, τί δ’ αὐλητάς; τίς εἶμέν

book 171.3 τοι δοκεῖ; ἄνθρωπος, ἢ οὐ γάρ; — πάνυ μὲν ὦν. — οὐκῶν δοκεῖς οὕτως ἔχειν καὶ περί 〈γα〉 τὠγαθοῦ; τό γα ἀγαθὸν τὸ πρᾶγμ’ εἶμεν καθ’ αὕθ’, ὅστις δέ κα εἰδῆι μαθὼν τῆν’, ἀγαθὸς ἤδη γίνεται. ὥσπερ γάρ ἐστ’ αὔλησιν αὐλητὰς μαθὼν ἢ ὄρχησιν ὀρχηστάς

book 171.4 τις ἢ πλοκεὺς

book 171.5 πλοκάν,

book 171.1 ἢ πᾶν γ’ ὁμοίως τῶν

book 171.2 τοιούτων ὅ τι τὺ λῆις, οὐκ αὐτὸς εἴη κα τέχνα, τεχνικός γα μάν.

book 172 Εὔμαιε, τὸ σοφόν ἐστιν οὐ καθ’ ἓν μόνον, ἀλλ’ ὅσσαπερ ζῆι, πάντα καὶ γνώμαν ἔχει. καὶ γὰρ τὸ θῆλυ τῶν ἀλεκτορίδων γένος, αἰ λῆις καταμαθεῖν, ἀτενὲς οὐ τίκτει τέκνα ζῶντ’, ἀλλ’ ἐπώιζει καὶ ποιεῖ ψυχὰν ἔχειν. τὸ δὲ σοφὸν ἁ φύσις τόδ’ οἶδεν ὡς ἔχει μόνα· πεπαίδευται γὰρ αὐταύτας ὕπο.

book 173.1 θαυμαστὸν οὐδὲν ἁμὲ ταῦθ’ οὕτως λέγειν καὶ ἁνδάνειν αὐτοῖσιν αὐτοὺς καὶ δοκεῖν καλῶς

book 173.2 πεφύκειν· καὶ γὰρ ἁ κύων κυνὶ κάλλιστον εἶμεν

book 173.3 φαίνεται, καὶ βῶς βοί, ὄνος δ’ ὄνωι κάλλιστον, ὗς δέ θην ὑί.

book 179.1 ἅμα

book 179.2 τε καὶ λόγων ἀκούσας ἁδύμων ..

book 180* καρκίνος .. ἦνθ’ ἐκ βυθοῦ θαλασσίου.

book 182.1 ἀλλὰ χρὴ εἴμειν ἕν

book 182.2 τε λῆμα πᾶσι καὶ λῆσιν μίαν.

book 185.1 ἀλλὰ τᾶς κλεινᾶς

book 185.2 Συρακοῦς.

book 188 βάσσον τὸ χωρίον.

book 189 τρὶς ἀπεδόθη ζόος.

book 207 μόρων νέον τὸ φυτόν.

book 216* ὅκκ’ ἀργύριον ἦι, πάντα θεῖ κἠλαύνεται.

book 217.1 ὅ τοι κακὸς θαρσεῖ μάλ’ αὐτόθεν [ἔπειτα

book 217.2 φεύγει].

book 218.1 γυναικάνδρεσσι

book 218.2 ποθεινοί.

book 219.1 αἴ κά τυ βλείης

book 219.2 σφενδόναι.

book 221 ἔνθα δέος, ἐνταῦθα καἰδώς.

book 228 ἱαρὸν ἁ συμβουλία ἐστὶ χρῆμα.

book 229 ἐν πέντε κριτῶν γούνασι κεῖται.

book 232*.1 μέγα τὸ στόμα
book 232*.2 τοῦ ἐνιαυτοῦ.
book 233*.1 ἀεὶ γεωμόρος εἰς νέωτα
book 233*.2 πλούσιος.
book 235 γέρρα Νάξια
book 238*.1 ἁ Κορινθία, ἔοικας
book 238*.2 χοιροπωλήσειν.
book 239 Σικελὸς ὀμφακίζεται.

Eulogikon public reading copy · View original HTML at eulogikon.org